νοι σολοικισμὸν φαίνονται συλλογίζεσθαι, καθάπερ ἐν τοῖς ἐλέγχοις.

Εἰσὶ δὲ πάντες σχεδὸν οἱ φαινόμενοι σολοικισμοὶ παρὰ τὸ τόδε, καὶ ὅταν ἡ πτῶσις μήτε ἄρρεν μήτε θῆλυ δηλοῖ ἀλλὰ τὸ μεταξύ. τὸ μὲν γὰρ 'οὗτος' ἄρρεν σημαίνει, τὸ δ' 'αὕτη' θῆλυ· τὸ δὲ 'τοῦτο' θέλει μὲν τὸ μεταξὺ σημαίνειν, πολλάκις δὲ σημαίνει κἀκείνων ἑκάτερον, οἷον τί τοῦτο; Καλλιόπη, ξύλον, Κορίσκος. τοῦ μὲν οὖν ἄρρενος καὶ τοῦ θήλεος διαφέρουσιν αἱ πτώσεις ἅπασαι, τοῦ δὲ μεταξὺ αἱ μὲν αἱ δ' οὔ. δοθέντος δὴ πολλάκις 'τοῦτο', συλλογίζονται ὡς εἰρημένου 'τοῦτον'· ὁμοίως δὲ καὶ ἄλλην πτῶσιν ἀντ' ἄλλης. ὁ δὲ παραλογισμὸς γίνεται διὰ τὸ κοινὸν εἶναι τὸ 'τόδε' πλειόνων πτώσεων· τὸ γὰρ 'τοῦτο' σημαίνει ὁτὲ μὲν 'οὗτος' ὁτὲ δὲ 'τοῦτον'. δεῖ δ' ἐναλλὰξ σημαίνειν μετὰ μὲν τοῦ ἔστι τὸ 'οὗτος', μετὰ δὲ τοῦ εἶναι τὸ 'τοῦτον', οἷον ἔστι Κορίσκος, εἶναι Κορίσκον. καὶ ἐπὶ τῶν θήλεων ὀνομάτων ὡσαύτως, καὶ ἐπὶ τῶν λεγομένων μὲν σκευῶν ἐχόντων δὲ θηλείας ἢ ἄρρενος κλῆσιν. ὅσα γὰρ εἰς τὸ ō καὶ τὸ ν̄ τελευτᾷ, ταῦτα μόνου σκεύους ἔχει κλῆσιν, οἷον ξύλον, σχοινίον· τὰ δὲ μὴ οὕτως ἄρρενος ἢ θήλεος, ὧν ἔνια φέρομεν ἐπὶ τὰ σκεύη, οἷον ἀσκὸς μὲν ἄρρεν τοὔνομα, κλίνη δὲ θῆλυ. διόπερ καὶ ἐπὶ τῶν τοιούτων ὡσαύτως τὸ ἔστι καὶ τὸ εἶναι διοίσει. καὶ τρόπον τινὰ ὅμοιός ἐστιν ὁ σολοικισμὸς τοῖς παρὰ τὸ τὰ μὴ ὅμοια ὁμοίως λεγομένοις ἐλέγχοις. ὥσπερ γὰρ ἐκείνοις ἐπὶ τῶν πραγμάτων, τούτοις ἐπὶ τῶν ὀνομάτων συμπίπτει σολοικίζειν· ἄνθρωπος γὰρ καὶ λευκὸν καὶ πρᾶγμα καὶ ὄνομά ἐστιν.

27 τὸ om. C 31 οὖν om. A (non om. ΠM^c) 33 δὲ Tu ‖ τοῦτο ABC Π Bo τοῦ τοῦτο M^c οὕτως T οὗτος u ‖ εἰρημένον D 35 διὰ τὸ τόδε κοινὸν εἶναι πτώσεων πολλῶν M^c ‖ ²τὸ om. u ‖ τόδε] τοῦτο (add. ταὐτὸ, sed del. vult C) Cu 38 ἱππόνικος—ἱππόνικον Tu (contra Π M^p) ‖ ante ¹·²K. add. τοῦτο Π 40 μὲν om. TΠ 174a 1 μόνου Wl. μόνα libri 3 τοὔνομα om. fort. recte Tu 5 τὸ εἶναι καὶ ἔστι Tu 6 τὸ om. Tu, pr. C (non om. Π) ‖ post ὅμοια add. ἤτοι τοῖς παρὰ τὸ σχῆμα Bo edd. pr. (om. tr.) ‖ γινομένοις (M^c) vel λέγεσθαι recte ci. Poste 7 ante ἐκ. add. ἐν Π M^c 8 ἐμπίπτει u ante σολ. add. τὸ Π

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/241 UNIVERSITÄT LEIPZIG